δεικτικῶν ἐν βιβλίοιc β', τοῦ Περὶ ψυχῆc ἐν βιβλίοιc ζ'· ἐν δὲ τούτῳ καὶ ἴδια παρειcήγαγε περὶ τοῦ cκοποῦ καὶ τῆc ἐπιγραφῆc τῶν Κατηγοριῶν ἐν βιβλίῳ ἑνί· καὶ Διαλέξειc.

123 Θεμιcτογένηc, Συρακούcιοc, ἱcτορικόc. Κύρου ἀνάβαcιν, ἥτιc Hesy. ἐν τοῖc Ξενοφῶντοc φέρεται· καὶ ἄλλα τινὰ περὶ τῆc ἑαυτοῦ πατρίδοc.

124 Θεμιcτοκλῆc, Ἀθηναῖοc δημαγωγόc, Νεοκλέουc υἱόc, ἄcωτοc Hesy. τὴν πρώτην ἡλικίαν γενόμενοc, μετὰ δὲ ταῦτα cτρατηγὸc αἱρεθεὶc καὶ κτίcαc τὸν Πειραιᾶ καὶ ναυμαχίᾳ νικήcαc τοὺc Πέρcαc κατὰ Σαλαμῖνα καὶ φθονηθεὶc φεύγει πρὸc Ἀρταξέρξην τὸν τῶν Περcῶν βαcιλέα καὶ cφόδρα τιμηθεὶc ὑπ' αὐτοῦ ἠναγκάζετο μετὰ ταῦτα τοῖc Ἕλληcι πολεμεῖν. καὶ μὴ βουληθεὶc προδοῦναι τὴν πατρίδα καὶ τὸ ἑαυτοῦ κλέοc, ταύρειον αἷμα πιὼν ἀπώλετο. ἔγραψεν ἐπιcτολὰc φρονήματοc γεμούcαc.

125 Θεμιcτοκλῆc, cτρατηγὸc Ἀθηναίων, ὁ καταναυμαχήcαc ἐν τῇ Ar. περὶ Σαλαμῖνα ναυμαχίᾳ τοὺc βαρβάρουc, εἶθ' ὕcτερον φυγαδευθεὶc ὑπὸ τῶν Ἀθηναίων ἐπὶ προδοcίαc αἰτίᾳ ψευδεῖ, καταφυγὼν πρὸc Ἀρταξέρξην, τὸν Ξέρξου τοῦ Πέρcου παῖδα, καὶ τιμηθεὶc τὰ μέγιcτα παρ' αὐτοῦ, ὡc τρεῖc πόλειc εἰc ὄψον καὶ ἄρτον καὶ ποτὸν λαβεῖν, Μαγνηcίαν, Μυοῦντα, Λάμψακον. ἐπηγγείλατο οὖν τοῦ καταδουλώcαcθαι τὴν Ἑλλάδα, δύναμιν εἰ λάβοι. παραγενόμενοc δὲ ἅμα τῷ cτρατεύματι εἰc Μαγνηcίαν, καταγνοὺc ἑαυτοῦ, εἰ δι' αὐτὸν cωθέντεc Ἕλληνεc δι' αὐτοῦ δουλεύcουcι βαρβάροιc, προφάcει χρηcάμενοc, ὡc θυcίαν ἐπιτελέcαι βούλεται καὶ ἱερουργῆcαι τῇ Λευκοφρυΐνων Ἀρτέμιδι, τῷ ταύρῳ ὑποθεὶc τὴν φιάλην καὶ ὑποδεξάμενοc τὸ αἷμα, χανδὸν πιὼν ἐτελεύτηcεν.

126 Θεμιcτοκλέουc παῖδεc, Νεοκλῆc καὶ Δημόπολιc ἀγωνιcάμενοι τὸν ἐπιτάφιον ἀγῶνα ἐν Ἀθήναιc καὶ νικήcαντεc ἐcτεφανώθηcαν ἀγνοούμενοι. καὶ Νεοκλῆc μὲν δόλιχον ἐνίκηcε, Δημόπολιc δὲ cτάδιον. γνωριcθέντεc δὲ μετὰ τὸν ἀγῶνα καταλευcθῆναι ἐκινδύνευcαν ὑπὸ τῶν Θεμιcτοκλέουc ἐχθρῶν, ὑπομνηcάντων τοὺc Ἀθηναίουc τοὺc νόμουc τοὺc περὶ τῶν φυγάδων.

127 Θέμιcτοc: δικαιοcύνηc. Σ

128 Θεμιτή. πολλὰ γὰρ τῶν κειμηλίων ἐν ταῖc διώρυξιν ηὑρίcκετο, Δ
καὶ πᾶcαν θεμιτὴν ὁδὸν ἐποίει τὸ κέρδοc· τοὺc νεκροὺc γὰρ ἐνεπάτουν. E

129 Θεμιτόν· Αἰλιανόc· θεοὺc γὰρ οὐδαμῇ θεμιτὸν ὁρᾶν ἔτι νεκρούc, E
καὶ ἐὰν ὦcι πάνυ φίλοι, οὐδὲ ὄμμα χραίνειν θαναcίμοιc ἐκπνοαῖc.

SLUB Wir führen Wissen. http://digital.slub-dresden.de/id413864820/697 UNIVERSITÄT LEIPZIG